ποντες ψευδῆ, μαντευόμενοι μάταια οἱ λέγοντες Λέγει κύριος, καὶ
κύριος οὐκ ἀπέσταλκεν αὐτούς, καὶ ἤρξαντο τοῦ ἀναστῆσαι λόγον.
7 8 [7]οὐχ ὅρασιν ψευδῆ ἑωράκατε καὶ μαντείας ματαίας εἰρήκατε; [8]διὰ
τοῦτο εἰπόν Τάδε λέγει κύριος Ἀνθ᾽ ὧν οἱ λόγοι ὑμῶν ψευδεῖς καὶ
αἱ μαντεῖαι ὑμῶν μάταιαι, διὰ τοῦτο ἰδοὺ ἐγὼ ἐφ᾽ ὑμᾶς, λέγει κύριος,
9 [9]καὶ ἐκτενῶ τὴν χεῖρά μου ἐπὶ τοὺς προφήτας τοὺς ὁρῶντας ψευδῆ
καὶ τοὺς ἀποφθεγγομένους μάταια· ἐν παιδείᾳ τοῦ λαοῦ μου οὐκ
ἔσονται οὐδὲ ἐν γραφῇ οἴκου Ισραηλ οὐ γραφήσονται καὶ εἰς τὴν
γῆν τοῦ Ισραηλ οὐκ εἰσελεύσονται· καὶ γνώσονται διότι ἐγὼ κύ-
10 ριος. [10]ἀνθ᾽ ὧν τὸν λαόν μου ἐπλάνησαν λέγοντες Εἰρήνη εἰρήνη,
καὶ οὐκ ἦν εἰρήνη, καὶ οὗτος οἰκοδομεῖ τοῖχον, καὶ αὐτοὶ ἀλείφου-
11 σιν αὐτόν, εἰ πεσεῖται, [11]εἰπὸν πρὸς τοὺς ἀλείφοντας Πεσεῖται,
καὶ ἔσται ὑετὸς κατακλύζων, καὶ δώσω λίθους πετροβόλους εἰς
τοὺς ἐνδέσμους αὐτῶν, καὶ πεσοῦνται, καὶ πνεῦμα ἐξαῖρον, καὶ ῥα-
12 γήσεται. [12]καὶ ἰδοὺ πέπτωκεν ὁ τοῖχος, καὶ οὐκ ἐροῦσιν πρὸς ὑμᾶς
13 Ποῦ ἐστιν ἡ ἀλοιφὴ ὑμῶν, ἣν ἠλείψατε; [13]διὰ τοῦτο τάδε λέγει
κύριος Καὶ ῥήξω πνοὴν ἐξαίρουσαν μετὰ θυμοῦ, καὶ ὑετὸς κατα-
κλύζων ἐν ὀργῇ μου ἔσται, καὶ τοὺς λίθους τοὺς πετροβόλους ἐν
14 θυμῷ ἐπάξω εἰς συντέλειαν [14]καὶ κατασκάψω τὸν τοῖχον, ὃν ἠλεί-
ψατε, καὶ πεσεῖται· καὶ θήσω αὐτὸν ἐπὶ τὴν γῆν, καὶ ἀποκαλυ-
φθήσεται τὰ θεμέλια αὐτοῦ, καὶ πεσεῖται, καὶ συντελεσθήσεσθε μετ᾽
15 ἐλέγχων· καὶ ἐπιγνώσεσθε διότι ἐγὼ κύριος. [15]καὶ συντελέσω τὸν
θυμόν μου ἐπὶ τὸν τοῖχον καὶ ἐπὶ τοὺς ἀλείφοντας αὐτόν, καὶ πε-
σεῖται. καὶ εἶπα πρὸς ὑμᾶς Οὐκ ἔστιν ὁ τοῖχος οὐδὲ οἱ ἀλείφοντες
16 αὐτὸν [16]προφῆται τοῦ Ισραηλ οἱ προφητεύοντες ἐπὶ Ιερουσαλημ
καὶ οἱ ὁρῶντες αὐτῇ εἰρήνην, καὶ εἰρήνη οὐκ ἔστιν, λέγει κύριος. —
17 [17]καὶ σύ, υἱὲ ἀνθρώπου, στήρισον τὸ πρόσωπόν σου ἐπὶ τὰς θυ-
γατέρας τοῦ λαοῦ σου τὰς προφητευούσας ἀπὸ καρδίας αὐτῶν
18 καὶ προφήτευσον ἐπ᾽ αὐτὰς [18]καὶ ἐρεῖς Τάδε λέγει κύριος Οὐαὶ
ταῖς συρραπτούσαις προσκεφάλαια ἐπὶ πάντα ἀγκῶνα χειρὸς καὶ
ποιούσαις ἐπιβόλαια ἐπὶ πᾶσαν κεφαλὴν πάσης ἡλικίας τοῦ δια-
στρέφειν ψυχάς· αἱ ψυχαὶ διεστράφησαν τοῦ λαοῦ μου, καὶ ψυχὰς

6 λεγει] pr. ταδε A^c *L* | κυριος 2°] pr. ο A† || 7 fin. B†] + και (ε)λεγετε φησιν κυριος και εγω ουκ ελαλησα rel. (in *O* sub ※) || 8 κυριος bis B†] pr. αδωναι rel.: item in 9. 13. 16. 18, cf. 5 5 || 9 διοτι] οτι A | κυριος: cf. 8 || 10 τον λαον μου / επλαν. B†] tr. rel. = 𝔐 | ειρηνη 2° > B = 𝔐 | ην] εστιν A | τοιχον] pr. τον A*C*† | αυτοι] αλλοι A† | ει πεσειται pl.] > A†; ει > B pau.: cf. 𝔐; αφροσυνη Q† = θ′ || 11 αλειφ. B pau.] + αυτον A pl., + αφροσυνη Q = θ′ || 12 ουκ > A || 13 κυριος: cf. 8 | εν θυμω / επαξω] tr. A† || 14 και 2° > BQ†: cf. 𝔐 et 15 | συντελεσθησεσθε] -θησεται A || 15 και 3° > BQ pau.: cf. 𝔐 et 14 || 16 οι 2° > A | ειρηνη / ουκ εστιν] tr. A = 𝔐 | κυριος: cf. 8 || 18 ερεις] + προς αυτας A* | κυριος: cf. 8 | επι 1°] υπο B | αι] pr. και A